† ὅθεν εἶπεν οὔτε γραφικὴν εἶναι ποιητικῆς οὔτε ποιητικὴν γραφ⟨ικ⟩ῆς, οὐδὲ χρῶνται τὸ παράπαν ἀλλήλαις· ὀρχηστικῇ δὲ καὶ ποιητικῇ κοινωνία πᾶσα καὶ μέθεξις ἀλλήλων ἐστί, καὶ μάλιστα [μιμούμεναι] περὶ ⟨τὸ⟩ τῶν ὑπορχημάτων γένος ἓν ἔργον ἀμφότεραι τὴν διὰ τῶν
B σχημάτων καὶ τῶν ὀνομάτων μίμησιν ἀποτελοῦσι. δόξειε δ᾿ ἂν ὥσπερ ἐν γραφικῇ τὰ μὲν ποιήματα ταῖς γραμμαῖς, ὑφ᾿ ὧν ὁρίζεται τὰ εἴδη.* *. δηλοῖ δ᾿ ὁ μάλιστα κατωρθωκέναι δόξας ἐν ὑπορχήμασι καὶ γεγονέναι πιθανώτατος ἑαυτοῦ τὸ δεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας· τὸ γὰρ (Pind. fr. 107 a)

῾Πελασγὸν ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ
ἐλελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος διώκων,᾿
† τὸν μὲν ῾οἷ᾿ ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον
πέτεται θάνατον κεροέσσᾳ
εὑρέμεν ματεῖσ᾿ ἐλάφῳ
τὰν δ᾿ ἐπ᾿ αὐχένι στρέφοισαν [ἕτερον] κάρα πάντ᾿ [ἐπ᾿ οἶμον᾿

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/340 UNIVERSITÄT LEIPZIG